τὴν ἀξίαν εὖ πράττοντας· ἀνιαρότερον γὰρ τοῦτό γε. Ἤδη ποτὲ οὖν[22], ὦ Κρόνου καὶ Ῥέας υἱὲ, τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος, καὶ νήδυμον[22*] (ὑπὲρ τὸν Ἐπιμενίδην[23] γὰρ κεκοίμησαι), καὶ ἀναῤῥιπίσας τὸν κεραυνὸν, ἢ ἐκ τῆς Οἴτης[24] ἐναυσάμενος, μεγάλην ποιήσας τὴν φλόγα, ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διὸς, εἰ μὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν[25] περὶ σοῦ καὶ τῆς σῆς ταφῆς μυθολογούμενα.

ΖΕΥΣ. Τίς οὗτός ἐστιν, ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς Ἀττικῆς παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ; πιναρὸς ὅλος, καὶ αὐχμῶν, καὶ ὑποδίφθερος[26]· σκάπτει δὲ οἶμαι ἐπικεκυφώς· λάλος ἄνθρωπος καὶ θρασύς· ἢ που φιλόσοφός ἐστιν· οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ᾽ ἡμῶν.

ΕΡΜ. Τί φῄς, ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου, τὸν Κολυττέα; οὗτός ἐστιν ὁ πολλάκις ἡμᾶς καθ᾽ ἱερῶν τελείων[27] ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας[28]· παρ᾽ ᾧ λαμπρῶς εἰώθαμεν ἑορτάζειν τὰ Διάσια[29].

ΖΕΥΣ. Φεῦ τῆς ἀλλαγῆς· ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ τοσοῦτοι φίλοι; τί παθὼν οὖν τοιοῦτός ἐστιν; αὐχμηρὸς, ἄθλιος, καὶ σκαπανεὺς, καὶ μισθωτὸς, ὡς ἔοικεν[30], οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν.

ΕΡΜ. Οὑτωσὶ[31] μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν, καὶ φιλανθρωπία, καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος· ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια, καὶ εὐήθεια, καὶ ἀκρισία περὶ τοὺς φίλους· ὃς οὐ συνίει κόραξι καὶ λύκοις χαριζόμενος, ἀλλ᾽ ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων κειρόμενος τὸ ἧπαρ[32], φίλους εἶναι αὐτοὺς καὶ ἑταίρους ᾤετο, ὑπ᾽ εὐνοίας τῆς πρὸς αὐτὸν χαίροντας τῇ βορᾷ. Οἱ δὲ, τὰ ὀστᾶ γυμνώσαντες ἀκριβῶς, καὶ περιτραγόντες, εἴ τις καὶ μυελὸς ἐνῆν, ἐκμυζήσαντες καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς, ᾤχοντο, αὖον αὐτὸν, καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωρίζοντες ἔτι, οὐδὲ προσβλέποντες, πόθεν γάρ[33]; ἢ ἐπικουροῦντες, ἢ ἐπιδιδόντες ἐν τῷ μέρει[34]· διὰ ταῦτα δικελλίτης καὶ διφθερίας, ὡς ὁρᾷς, ἀπολιπὼν ὑπ᾽ αἰσχύνης τὸ ἄστυ, μισθοῦ γεωργεῖ, μελαγχολῶν τοῖς κακοῖς· ὅτι οἱ πλουτοῦντες παρ᾽ αὐτοῦ, μάλα ὑπεροπτικῶς παρέρχονται, οὐδὲ τοὔνομα, εἰ Τίμων καλοῖτο, εἰδότες.

ΖΕΥΣ. Καὶ μὴν οὐ παροπτέος ἀνὴρ, οὐδὲ ἀμελητέος, εἰκότα γὰρ ἠγανάκτει δυστυχῶν· ἐπεὶ καὶ ὅμοια ποιήσομεν τοῖς καταράτοις κόλαξιν ἐκείνοις, ἐπιλελησμένοι ἀνδρὸς, τοσαῦτα μηρία ταύρων τε καὶ αἰγῶν[35] πιότατα καύ-

---

22) Λοιπὸν (Ἀλλὰ) τέλος πάντων. 22*) Λέγει δέ που καὶ ὁ Προφητάναξ Δαβίδ· « Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε; » (Ψαλμ. μγ΄.) 23) Φιλόσοφος ἀρχαῖος, Κρὴς τὴν πατρίδα, περίφημος διὰ τὰς μαντικας γνώσεις του, ἐνομίζετο ὑπνώσας 60 ἔτη. 24) Διὰ τὴν ἐκεῖ ἀναφθεῖσαν πυρὰν ὑπὸ τοῦ Ἡρακλέους, ὅταν ἐφαρμακώθη, ὅθεν καὶ τὸ μέρος ἐκεῖνο ἐκαλεῖτο Πυρά. Τῶν Σχολιαστῶν τις διορθοῦν ἐπεβάλετο ἀντὶ Οἴτης, Αἴτνης, οὐκ ἀπιθάνως. 25) Διότι οἱ Κρῆτες ἐπεδείκνυον παρ᾽ ἑαυτοῖς τάφον τοῦ Διὸς, ὡς θνητοῦ, χρηματίσαντος βασιλέως αὐτῶν· ὅθεν καὶ τὸ « Κρῆτες ἀεὶ ψεῦσται ». 26) Φορῶν παλαιὰν (μόλις σκεπάζουσαν αὐτὸν) διφθέραν. 27) Ἴδε εἰς τὸ Λεξ. Τέλειος. 28) (Ἐνν.) Θύων. 29) Ἑορτὴ τοῦ Μειλιχίου Διὸς ἐν Ἀθήναις. 30) Ἔοικεν εἶναι μισθωτὸς ἐκ τοῦ βαρεῖαν καταφέρειν τὴν δίκελλαν.

31) Ἁπλῶς, ἐν γένει, ἐκ τοῦ προχείρου. 32) Καθὼς ὁ Προμηθεύς. 33) (Ἐνν.) Ἠδύναντο γνωρίζειν ἢ προσβλέπειν ἔτι αὐτόν. (κοινῶς) Ἀπὸ ποῦ καὶ ὡς ποῦ; 34) Χορηγοῦντες αὐτῷ καὶ αὐτοὶ (κατὰ) τὸ μέρος των. 35) « Εἴ ποτέ τοι κατὰ πίονα μηρί᾽ ἔκηα ταύρων ἠδ᾽ αἰγῶν ». Ὁμήρ. Ἰλ. Α.